Εἰ καὶ μὴ σύγκληρα κατ’ ἀσίδα τείχεα δῆμοι
τύρσεσιν ἐστήσαντο τέων ἀνεδέγμεθα βλάστας,
πρωταγόρη, δολιχὸς δὲ διάπροθι χῶρος ἐέργει,
ῥειά κέ τοι ποσίεσσιν ἀλέξια φαρμακοέσσαις
αὐδήσαιμ’ ἅ τε φῶτας ἐνιχριμφθέντα δαμάζει.
ἦ γὰρ δὴ σὺ μὲν ἄγχι πολυστροίβοιο θαλάσσης
ἄρκτον ὑπ’ ὀμφαλόεσσαν ἐνάσσαιο ἧχί τε ῥείης
λοβρίνης θαλάμαι τε καὶ ὀργαστήριον ἄττεω ·
αὐτὰρ ἐγὼ τόθι παῖδες εὐζήλοιο κρεούσης
πιοτάτην ἐδάσαντο γεωμορίην ἠπείρου
ἑζόμενοι τριπόδεσσι πάρα κλαρίοις ἑκάτοιο.
ἀλλ’ ἤτοι χολόεν μὲν ἰδὲ στομίοισι δυσαλθές
πνυθείης ἀκόνιτον, ὃ δὴ ῥ’ ἀχερωίδες ὄχθαι
φύουσιν τόθι χάσμα δυσέκδρομον εὐβουλῆος
ἄστυρά τε πριόλαο κατασρεφθέντα δέδουπε.
Τοῖο δὲ πάντα χαλινὰ καὶ οὐρανόεσσαν ὑπήνην
οὐλά θ’ ὑποστύφει χολόεν ποτόν, ἀμφὶ δὲ πρώτοις
εἰλύεται στέρνοισι κακῇ ἀλάλυγγι βαρῦνον
φῶτ’ ἐπικαρδιόωντα · δύῃ δ’ ἐπδάκνεται ἄκρον
νειαίρης, ἄκλειστον ἀειρόμενον στόμα γαστρός,
τεύχεος ἣν κραδίην ἐπιδορπίου οἱ δὲ δοχαίην
κλείουσι στομάχοιο, πύλη δ’ ἐπικέκλιται ἀρχαῖς
πρῶτα κόλων ὅθι πᾶσα βροτῶν ἅλις ἐμφέρεται δαίς.
Αἰεὶ δ’ ἐκ φαέων νοτέων ὑπολείβεται ἱδρώς,
ἡ δὲ κυκαομένη τὰ μὲν ἔβρασεν ἤλιθα νηδύς
πνεύματα, πολλὰ δ’ ἔνερθε κατὰ μέσον ὀμφαλὸν ἵζει ·
κράατι δ’ ἐν βάρος ἐχθρόν, ὑπὸ κροτάφοισι δὲ παλμός
πυκνὸς ἐπεμφέρεται, τὰ δὲ διπλόα δέρκεται ὄσσοις
οἷα χαλικραίῃ νύχιος δεδαμασμένοις οἴνῃ.
ὡς δ’ ὁπότ’ ἀγριόεσσαν ὑποθλίψαντες ὀπώρην
σιληνοὶ κεραοο διωνύσοιο τιθηνοί
πρῶτον ἐπαφρίζοντι ποτῷ φρ’ενα θωρηχθέντες
ὄθμασι δινήθησαν ἐπισφαλεροῖδι δὲ κώλοις
μυσαίην ἀνὰ κλιτὺν ἐπέδραμον ἀφραίνοντες,
ὧς οἵγε σκτόωσι κακῇ βεβαρητότες ἄτῃ.
Τὴν μέν τε κλείουσι μυοκτόνον, ἦ γὰρ ἀνιγρούς
παμπήδην ὕρακας λιχμήμονας ἠρήμωσεν ·
οἱ δέ τε παρδαλιαγχές, ἐπεὶ θήρεσσι πελώροις
πότμον βουπελάται τε καὶ αἰγινομῆες ἔθεντο
ἴδης ἐν νεμέεσσι φαλακραίῃ ἐνὶ βήσσῃ,
πολλάκι θηλυφόνον καὶ κάμμαρον · ἐν δ’ ἀκοναίοις
δηλήειν ἀκόνιτον ἐνεβλάστησεν ὀρόγκοις.
Τῷ καί που τιτάνοιο χερὸς βάρος ἔσσεται ἄρκος
πιμπλαμένης ὅτε νέκταρ εὔτριβι κιρρὸν ἀφύσσῃς
μετρήδην - κοτύλη δὲ πέλοι καταμέστιος οἴνης -
σὺν δὲ καὶ ἁβροτόνοιο ταμὼν ἄπο καυλέα θάμνου
ἢ χλοεροῦ πρασίοιο τὸ δὴ μελίφυλλον ὑδεῦσι ·